# TEZAUR LITURGIC

## 6 APRILIE

## HARALAMBOS BOUSIA

# PARACLISUL SF.CUVIOS GRIGORIE SINAITUL

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Παρακλητικός Κανών εις τον Όσιο Πατέρα ημών Γρηγόριο ο Σιναΐτης

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τόν ΡΜΒ’ (142) Ψαλμόν.

Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος α’. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.
Στίχος β’. Πάντα τά ἔθνη ἐκύκλωσαν με, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Στίχος γ’. Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.

καὶ τὸ ἑξῆς·Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.
Ὡς ἡσυχίας καὶ ἀσκήσεως λύχνος, καὶ προσευχῆς τῆς νοερᾶς ὄντως οἶκος, τῶν δεομένων πάντα τὰ αἰτήματα, Ὅσιε νῦν πλήρωσον, καὶ νῦν ἴθυνε τούτους, πρὸς τὴν ἐπουράνιον βιοτήν τε καὶ τρίβον· ἵνα τιμῶμεν πάντοτε ἐσέ, θεῖε Γρηγόριε ὦ Σιναΐτα.
Δόξα Καὶ νῦν. Θεοτοκίον.
Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων

κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς
Εὐχῆς Ἀθληταί, πιστοὺς σκέπετε πάντας.

ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.
Ἐδώρησας Πάτερ τὴν σεαυτοῦ, καρδίαν ἐκθύμως, τῷ Κυρίῳ καῖ Λυτρωτῇ· διό σε ἡγίασε παρέχων, τοῖς αἰτουμένοις σου πάντα αἰτήματα.
Ὑμνοῦμέν σε Πάτερ πανευλαβῶς, Γρηγόριε θεῖε, τοῦ Σιναίου τῶν μοναστῶν, τὸ ἄνθος τὸ θεῖον καὶ τῆς Κρήτης, τὸν ἐκλεκτὸν ἀσκητὴν καὶ ἀγλάϊσμα.

Χαρίτων τοῦ Πνεύματος ἐμπλησθείς, ἐξέλαμψας Πάτερ καὶ κατηύγασας μοναστῶν, χορείας ταῖς θείαις διδαχαῖς σου, οἱ σὲ τιμῶσιν ἀξίως Γρηγόριε.

Θεοτοκίον.
Ἡλίου τῆς δόξης ἀνατολή, ὑπάρχουσα Κόρη, σκοτισθεῖσάν μου τὴν ψυχήν, παθῶν ἀτιμίας ἀμαυρώσει, τῇ μητρικῇ Σου προνοίᾳ καταύγασον.

ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.
Σκεπασθεὶς ἐν τῇ σκέπῃ τῆς θεϊκῆς χάριτος, πάντας τοὺς θορύβους τοῦ κόσμου σοφῶς ἐξέκλινας, καὶ

ἐπεζήτησας, ὅλῃ ψυχῇ καὶ καρδίᾳ, τὸν Χριστὸν πανένδοξε, θεῖε Γρηγόριε.
Ἀρετῆς ἐπελάβου ἀσκητικῶς ἔνδοξε, καὶ τὰς πρὸς Θεὸν ἀναβάσεις σὺ ἐμελέτησας, ἐν τῇ καρδίᾳ τῇ σῇ, καθηγητὴν δὲ πρὸς τοῦτο, ἀληθῶς κτησάμενος, θεῖον Ἀρσένιον.

Θαλαττεύσας ὦ Πάτερ πρὸς τοὺς Καλοὺς ἔφθασας, τῆς μεγαλονήσου Λιμένας, Κρήτης Γρηγόριε· ἔνθα ἐσκήνωσας, ἐν τοῖς σπηλαίοις τῆς Ῥάξου, ἐν οἷς καὶ ὑπήντησας, θεῖον Ἀρσένιον.

Θεοτοκίον.
Λυτρωτὴν τῶν ἀνθρώπων Μῆτερ Θεοῦ τέτοκας, καὶ τὴν σωτηρίαν παρέχεις πᾶσι τοῖς κράζουσι, πάντοτε Δέσποινα, εἰλικρινῶς ἐκ καρδίας· χαῖρε πάντων Ἄνασσα, ἀειμακάριστε.

Παράστηθι, τοῖς σοῖς ἱκέταις Γρηγόριε θεοφόρε, συμπρεσβευτήν σου λαβὼν τὸν θεῖον Γεράσιμον· καὶ ῥῦσαι αὐτοὺς κακῶν καὶ κινδύνων.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.
Ἐδείχθης Θεοῦ, σὺ σκεῦος ἐκλεκτότατον, πολλὰς δωρεὰς καὶ Χάριτας δεξάμενος, Πάτερ Γρηγόριε· διὸ

θλίψεων ἔνδοξε λύτρωσαι καὶ πειρασμῶν, δεινῶν καὶ συμφορῶν ἱκέτας τοὺς σοὺς ἀεὶ διάσῳζε.

Ὠδὴ δʹ. Εἰσακήκοα Κύριε.

Ἡσυχίας διδάσκαλον, καὶ τῶν μοναζόντων ἄγρυπνον ἔφορον, σὲ γινώσκομεν Γρηγόριε, καὶ γεραίρομέν σε ἱερώτατε.

Τηλαυγῶς σὺ ἐξήστραψας, καὶ τὴν οἰκουμένην πᾶσαν ἐφώτισας, διδαχαῖς ταῖς σαῖς μακάριε, ἀσκητὰς εὐφράνας τε σοῖς δόγμασι.

Ἀναβαίνειν προέτρεπες, εἰς τὴν ἀρετῶν ὑψίστην ἀκρώρειαν, τοὺς προστρέχοντας Γρηγόριε, καὶ ἀκροωμένους τῶν ῥημάτων σου.

Θεοτοκίον.

Ἱεροῖς μελῳδήμασι, τὰ Σὰ μεγαλεῖα ὑμνοῦμεν πάντοτε, καὶ δοξάζομεν τὸν τόκον Σου, Σὲ ὁμολογοῦντες Θεομήτορα.

Ὠδὴ εʹ. Φώτισον ἡμᾶς.

Παῦσον πειρασμῶν, χαλεπώτατον κλυδώνιον, καὶ τὴν εἰρήνην τοῦ Θεοῦ ἡμῖν δός, ὥστε βαδίζειν αὐτοῦ τρίβον τὴν σωτήριον.

Ἵλεων ἡμῖν, τὸν Σωτῆρα σὺ ἀπέργασαι, ταῖς σαῖς λιταῖς ταῖς εὐπροσδέκτοις σοφέ, καὶ τῶν πταισμάτων τὴν συγχώρησιν ἐξαίτησαι.

Στήριξον πιστῶν, διανοίας εἰς τὸ θέλημα, καὶ εἰς τὴν πέτραν Θεοῦ τῶν ἐντολῶν, ἵνα καρποὺς τῆς ἀρετῆς οὗτοι κομίσωνται.

Θεοτοκίον.
Τάξεις οὐρανῶν, Ἐκκλησίας τε συστήματα, Σὴν αἰνοῦσιν ἀξίως ἄχραντε, τιμὴν καὶ δόξαν, τὴν πάντα νοῦν ὑπερβαίνουσαν.

ᾨδὴ στ΄. Τὴν δέησιν.
Ὁλόκληρον, τὴν σὴν ἔφεσιν Πάτερ, τῷ Κυρίῳ καὶ Θεῷ σου ἀνέθου· διὸ χαρᾶς, ἡ ψυχή σου ἐπλήσθη, καὶ σῇ καρδίᾳ τὸ φῶς ἐναπήστραψε, τῆς Χάριτος τῆς θεϊκῆς, καὶ φωστῆρα ἐν κόσμῳ ἀνέδειξε.
Ὑπήντησας, ἐν σπηλαίῳ τῆς Ῥάξου, τὸν Ἀρσένιον ἀχθεὶς νεύσει θείᾳ, καὶ σὲ ἐμύησεν Ὅσιε Πάτερ, εἰς νοερᾶς προσευχῆς τὰ μυστήρια· διὸ Γρηγόριε κλεινέ, καὶ ἡμᾶς τῷ σῷ φέγγει καταύγασον.

Στηρίζων, μὴ ἐλλίπῃς Γρηγόριε, τὰς καρδίας τῶν πιστῶς σοι βοώντων, οὐκ ἐκ φθορᾶς, καὶ δεινῶν καὶ κινδύνων, καὶ συμφορῶν θεῖε Πάτερ ἀπάλλαξον, τὸν Κύριον ἐκδυσωπῶν, Ὃν ἐν βίῳ σου ὄντως ἠγάπησας.

Θεοτοκίον.
Σὺ σκέδασον, τῶν παθῶν μου κλύδωνα, καὶ εἰρήνην Σου παράσχου μοι Κόρη, τῶν πειρασμῶν, ἐπιθέσεως ῥῦσαι, καὶ κακουργίας δαιμόνων με λύτρωσαι, Σοῦ δέομαι Μῆτερ Θεοῦ, πρὶν εἰς τέλος ἀπόλωμαι σῶσόν με.

Παράστηθι, τοῖς σοῖς ἱκέταις Γρηγόριε θεοφόρε, συμπρεσβευτήν σου λαβὼν τὸν θεῖον Γεράσιμον· καὶ ῥῦσαι αὐτοὺς κακῶν καὶ κινδύνων.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.
Σὲ ἐν Σιναίῳ τὸ πρῶτον μονάσαντα, καὶ ἐν Ἁγίων τῇ Φάραγγι φθάσαντα, εὐχῆς νοερᾶς ἔνθα τρόπους ὁσίως μεμάθηκας, πάντες δοξάζομεν, θειότατε Πάτερ Γρηγόριε.

Προκείμενον
Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.
Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κᾀγὼ ἀναπαύσω ἡμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷος εἰμί, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρὸν ἐστί.

Δόξα.
Ταῖς τοῦ Σοῦ Ὁσίου πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.
Καὶ νῦν.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.
Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός…
Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Ἔφανας ὡς ἥλιος, ἐκ τῆς Ἑώας παμμάκαρ, καὶ εἰς Κρήτην ἔφθασας, ἔνθα νοερᾶς εὐχῆς χάριν εἴληφας· μονασταῖς Ὅσιε, εἶτα ἐξηγήσω, τοῖς ἐν Ἄθῳ διατρίβουσι νήφειν καὶ εὔχεσθαι, πάντοτε ἀγρύπνως πρὸς Κύριον, διδάσκαλος ἐντεῦθεν σύ, πάντων Ὀρθοδόξων ἐγνώρισαι· ὅθεν σε ὑμνοῦμεν, Γρηγόριε ὡς φίλον τοῦ Χρισροῦ, σὺν Γερασίμῳ θεόφρονι, ἀσκητῶν ἀκρέμονες.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.
Καθαρᾶς εὐωδίας τῆς Χριστοῦ θεωρίας ὑμεῖς ἐπλήσθητε, θειότατοι Πατέρες, πρὸς ὕψος ἀπαθείας, ἀναχθέντες τὸ πρότερον· διὸ τιμῶμεν ὑμᾶς, τῆς ἐκλογῆς τὰ σκεύη.
Ἐν εὐχῇ καὶ ἀσκήσει τὰς ψυχὰς ἡγιάσθητε καὶ ηὐγάσθητε, Γρηγόριε παμμάκαρ, Γεράσιμέ τε θεῖε, τῷ Κυρίῳ κραυγάζοντες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Περιλάμπεσθε ὄντως ταῖς ἀκτῖσι τῆς θείας Πατέρες Χάριτος, καὶ λάμπετε φῶς θεῖον, ψυχὰς

φωταγωγοῦντες, καὶ τὸ σκότος διώκοντες, τῶν ἐξαιτούντων ὑμῶν, τὴν ἄμαχον πρεσβείαν.

Θεοτοκίον.
Ἐπαξίως Παρθένε ὡς αἰτίαν ὑμνοῦμεν σεμνοπρεπέστατα, ἡμῶν τῆς σωτηρίας, τὴν τέξασαν ἀῤῥήτως, τὸν Σωτῆρα καὶ Κύριον, τὸν σὺν Πατρὶ αἰνετόν, καὶ Πνεύματι Ἁγίῳ.

Ὠδὴ η΄. Τὸν Βασιλέα.
Τῶν ἀσκουμένων, ἐπισκοπεῖτε χορείας, καὶ φρουρεῖτε πάντοτε Πατέρες θεῖοι, ὁδηγοῦντες ταύτας, εἰς ὕψη θεωρίας.
Ἔχοιμεν πάντες, οἱ ἐν τῷ κόσμῳ οἰκοῦντες, τὴν ἀντίληψιν ἡμῶν καὶ προστασίαν, ὡς ἐν τοῖς κινδύνοις, καὶ θλίψεσι βιοῦντες.

Πάντοτε σκέπε, σῇ πατρικῇ προμηθείᾳ, μοναστὰς καὶ ἀσκητὰς τοὺς ἐν Ῥάξῳ, σὺν τῷ Ἀρσενίῳ, Γρηγόριε τρισμάκαρ.

Θεοτοκίον.
Ἀπηλπισμένων, τὴν μόνην ὄντως ἐλπίδα, δυσωποῦμέν Σε πίστει ἁγνὴ Παρθένε, πρόφθασον καὶ σῶσον, ἡμᾶς ἐκ πάσης βλάβης.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.
Ναὸς ἡγιασμένος, σὺ Πάτερ ἐδείχθης, ὡς προσευχῆς νοερᾶς ἐνδιαίτημα, ἀλλὰ καὶ ταύτης Γρηγόριε ὡς διδάσκαλος.

Τρανῶς σὲ ἀνυμνοῦμεν, καὶ ἐκδυσωποῦμεν, μὴ ἐπιλάθη πρεσβεύων πρὸς Κύριον, ὑπὲρ ἡμῶν τῶν πενήτων θεῖε Γρηγόριε.

Ἁγίων καὶ Ὁσίων, συνηριθμημένος, χοροστασίαις Γρηγόριε ἔνδοξε, τὴν Παναγίαν Τριάδα ἡμῖν ἱλέωσαι.

Θεοτοκίον.

Σεμνύνονται Παρθένε, τῶν ἀνθρώπων γένος, καὶ τῶν Ἀγγέλων ἐν Σοὶ ἅπαν σύστημα, καὶ Σὲ τιμῶσιν ἐν ὕμνοις καὶ μεγαλύνουσι.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Μεγαλυνάρια,

Χαίροις γόνε θεῖε Κλαζομενῶν, ὁ ἐν τῷ Σιναίῳ, σχῆμα θεῖον περιβληθείς· χαίροις ὁ ἀσκήσει, καὶ ἀρετῇ κοσμήσας, τὴν σὴν ψυχὴν πρεπόντως, Πάτερ Γρηγόριε.

Ἔπλευσας εἰς Κρήτην μετὰ τοῦ σοῦ, μαθητοῦ ὦ Πάτερ, Γερασίμου τοῦ Εὐβοῶς· ἔνθα ἐν Ἁγίων, τῇ Φάραγγι ηὐλίσθης, ἀσκήσει καὶ νηστείᾳ, ἀγωνιζόμενος.

Ἐγένου ἐντεῦθεν ὑφηγητής, εὐχῆς νοεράς τε, ἰθυνούσης πρὸς θεῖον φῶς, πᾶσι τοῖς ἐν Ἄθῳ, μονάζουσι θεόφρον, Γρηγόριε· διό σε, ὕμνοις γεραίρομεν.

Φύλαττε ὦ Πάτερ ταῖς σαῖς λιταῖς, πάντας Ὀρθοδόξους, καὶ μονάζοντας εὐσεβῶς, ἐν Σιναίῳ ὄρει, καὶ Κρήτῃ καὶ ἐν Ἄθῳ, Γρηγόριε τρισμάκαρ, Πατέρων καύχημα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον
καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.
Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.
Καί νῦν.
Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν,

ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ’ ἣν ψάλλομεν τὸ ἑξῆς·
Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.
Φρούρει, καὶ συντήρει ἀσινεῖς, πάντας τοὺς τῇ σκέπῃ σου Πάτερ, ἀεὶ προστρέχοντας, πίστιν τε Ὀρθόδοξον κράτυνον ἔνδοξε, καὶ παντοίας πλανήσεως, Γρηγόριε ῥύου, πάντοτε τοὺς πόθῳ τε, καὶ πίστει μέλποντας· χαίροις, ὁ εὐχὴν ἐκδιδάξας, νοερὰν καὶ τάξεις εὐφράνας, πάσας ἀσκητῶν τοῖς θείοις λόγοις σου.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Δί’ εὐχῶν τῶν ἁγίων πατέρων ἠμῶν,
Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἠμᾶς.
Ἀμήν.

